ePublishing

## Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας

Τόμ. 1 (1892)

Δελτίον ΧΑΕ 1 (1884-1891), Περίοδος Α'




# Επιστολή του Πατριάρχου Κωνσταντινουπόλεως Νεοφύτου Η΄

*ΝΕΟΦΥΤΟΣ Η΄ ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ*

doi: 10.12681/dchae.1501

**Βιβλιογραφική αναφορά:**

ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ Ν. Η. (1892). Επιστολή του Πατριάρχου Κωνσταντινουπόλεως Νεοφύτου Η΄. *Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας*, *1*, 88. https://doi.org/10.12681/dchae.1501

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 15/01/2025 18:08:46

ΔΕΛΤΙΟΝ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

# Επιστολή του Πατριάρχου Κωνσταντινουπόλεως Νεοφύτου Η'

ΝΕΟΦΥΤΟΣ Η', ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Δελτίον ΧΑΕ 1 (1884-1891), Περίοδος Α'• Σελ. 88

**ΑΘΗΝΑ 1892**

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE
e-Publishing

www.deltionchae.org

ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

# ΝΕΟΦΥΤΟΣ Η΄.

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ
ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Εὐγενέστατε κύριε Ἀριστείδη Παππούδωφ, Πρόεδρε τῆς ἐν Ἀθήναις Χριστιανικῆς Ἀρχαιολογικῆς Ἑταιρείας, ἡμέτερε κατὰ πνεῦμα υἱὲ λίαν ἀγαπητέ, τὴν φίλην ἡμῖν αὐτῆς Εὐγένειαν ἐκ ψυχῆς εὐχόμενοι εὐλογοῦμεν πατρικῶς. Ἀσμενέστατα διεξήλθομεν τὴν διὰ γράμματος αὐτῆς γενομένην ἡμῖν ἀνακοίνωσιν τῶν συγχαρητηρίων τῆς ὑπὸ τὴν προεδρείαν αὐτῆς χριστιανικῆς ἀρχαιολογικῆς ἑταιρείας, καὶ ἐν ἐγκαρδίῳ ἐδεξάμεθα εὐφροσύνῃ τὸ συναποσταλὲν ἡμῖν δίπλωμα, δι᾽ οὗ εὐηρεστήθη αὕτη κατατάξαι ἡμᾶς ἐν τοῖς ἐπιτίμοις αὐτῆς μέλεσιν. Ἐπ᾽ ἀμφοτέροις τούτοις τὰς διαπύρους ἡμῶν ἐκφράζοντες εὐχαριστίας πᾶσι τοῖς ἐντιμοτάτοις ἑταίροις, ὑπερβαλλόντως ἀγαλλόμεθα διορῶντες ἐν τῇ πρὸς ἡμᾶς φιλόφρονι αὐτῶν διαθέσει ἔνδειξιν τῆς πρὸς τὴν Μητέρα Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν υἱϊκῆς στοργῆς καὶ ἀγάπης, ὁμίλου ἀληθῶς εὐσεβοῦς καὶ φιλοχρίστου, οὗ ἡ πρὸς τὴν πάτριον ἱερὰν ἡμῶν θρησκείαν ἀφοσίωσις περιτράνως τεκμηριοῦται ἐκ τοῦ ζήλου, ὃν καταβάλλει εἰς περισυλλογὴν καὶ διάσωσιν τῶν ἀρχαίων αὐτῆς κειμηλίων καὶ εἰς διαφώτισιν τῆς ἱστορίας αὐτῆς. Ἐκθύμως τοίνυν τὴν θεάρεστον φερεπονίαν καὶ τὸν ἱερὸν τῆς Ἑταιρείας σκοπὸν εὐλογοῦντες, εὐχόμεθα αὐτῇ πατρικῶς πλήρη ἐν τῷ χριστιανικῷ αὐτῆς ἔργῳ προκοπὴν καὶ ἐπίδοσιν, τῇ δὲ περισπουδάστῳ ἡμῖν αὐτῆς Εὐγενείᾳ ἔτη ὡς πλεῖστα, ὑγιεινὰ καὶ πανευφρόσυνα.

αωϞα΄. Νοεμβρίου κθ΄.

ΝΕΟΦΥΤΟΣ Κωνσταντινουπόλεως ἐν Χριστῷ διάπυρος εὐχέτης.